στοῦ ἕως τοῦ πρώτου ἔτους τῆς βασιλείας τοῦ ἁγίου Κωνσταντίνου, ἔτη σῃζ'· ὁμοῦ ἀπὸ κτίσεως κόσμου ἕως τοῦ ἐν ἁγίοις Κωνσταντίνου ͵εωλ'. (1)

## ΠΡΩΤΟΣ ΒΑΣΙΛΕΥΣ ΕΥΣΕΒΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Κωνσταντῖνος ὁ μέγας καὶ ἅγιος καὶ ἰσαπόστολος, καὶ πρῶτος τῶν χριστιανῶν βασιλέων, ὁ καὶ κτήτωρ τῆς Κωνσταντίνου πόλεως, ἐβασίλευσεν ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ιβ', ἐν δὲ τῇ νεωτέρᾳ καὶ βασιλίδι τῶν πόλεων Κωνσταντινουπόλει ἔτη κ', καὶ μῆνας ι'· ἦν δὲ ὅτε ἐβασίλευσεν ἐτῶν τριάκοντα δύο, ὡς εἶναι τὰ πάντα τῆς ἐπὶ γῆς ζωῆς αὐτοῦ ἔτη ἑξήκοντα καὶ πέντε· ἔχει δὲ τὰ κατ' αὐτὸν οὕτως.

---

(1) Παρεντίθεται εἰς συμπλήρωσιν τοῦ λευκοῦ χάρτου τὰ ἑξῆς δύο σημειώματα: Περὶ τῶν ἑπτὰ Θεαμάτων.

Αἱ ἐν Αἰγύπτῳ πυραμίδες<br>
ὁ πύργος τοῦ Φάρου ὑψηλὸς ὢν λίαν<br>
ὁ ἐν Ῥόδῳ κολοσσὸς<br>
Ὁ τοῦ Μαυσώλου τάφος ἐν Καρίᾳ<br>
ὁ ἐν Κυζίκῳ ναός<br>
τὸ θέατρον Λυκίας τῶν Μύρων<br>
καὶ τὸ Ῥουφίνειον ἄλσος Περγάμῳ.

[Καὶ τὰ γνωστὰ] ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.